# PLATON

## *Alcibiade*

133d-134d

Σωκράτης
῞Οστις δὲ τὰ αὑτοῦ ἀγνοεῖ, καὶ τὰ τῶν ἄλλων που ἂν ἀγνοοῖ κατὰ ταὐτά.
᾿Αλκιβιάδης
- Τί μήν ;
Σωκράτης
- Οὐκοῦν εἰ τὰ τῶν ἄλλων, καὶ τὰ τῶν πόλεων ἀγνοήσει.
᾿Αλκιβιάδης
- ᾿Ανάγκη.
Σωκράτης
- Οὐκ ἄρ᾽ ἂν γένοιτο ὁ τοιοῦτος ἀνὴρ πολιτικός.
᾿Αλκιβιάδης
- Οὐ δῆτα.
Σωκράτης
- Οὐ μὴν οὐδ᾽ οἰκονομικός γε.
[134]
᾿Αλκιβιάδης
- Οὐ δῆτα.
Σωκράτης
- Οὐδέ γε εἴσεται ὅτι πράττει.
᾿Αλκιβιάδης
- Οὐ γὰρ οὖν.
Σωκράτης
- ῾Ο δὲ μὴ εἰδὼς οὐχ ἁμαρτήσεται;
᾿Αλκιβιάδης
- Πάνυ γε.
Σωκράτης
- ᾿Εξαμαρτάνων δὲ οὐ κακῶς πράξει ἰδίᾳ τε καὶ δημοσίᾳ ;
᾿Αλκιβιάδης
- Πῶς δ᾽ οὔ ;
Σωκράτης
- Κακῶς δὲ πράττων οὐκ ἄθλιος ;
᾿Αλκιβιάδης
- Σφόδρα γε.
Σωκράτης
- Τί δ᾽ οἷς οὗτος πράττει ;
᾿Αλκιβιάδης
- Καὶ οὗτοι.
Σωκράτης
- Οὐκ ἄρα οἷόν τε, ἐὰν μή τις σώφρων καὶ ἀγαθὸς ᾖ, εὐδαίμονα εἶναι.
᾿Αλκιβιάδης
- Οὐχ οἷόν τε.
Σωκράτης
- Οἱ ἄρα κακοὶ τῶν ἀνθρώπων ἄθλιοι.
᾿Αλκιβιάδης
- Σφόδρα γε.
Σωκράτης
- Οὐκ ἄρα οὐδ᾽ ὁ πλουτήσας ἀθλιότητος ἀπαλλάττεται, ἀλλ᾽ ὁ σωφρονήσας.
᾿Αλκιβιάδης
- Φαίνεται.
Σωκράτης

- Οὐκ ἄρα τειχῶν οὐδὲ τριήρων οὐδὲ νεωρίων δέονται αἱ πόλεις, ὦ Ἀλκιβιάδη, εἰ μέλλουσιν εὐδαιμονήσειν, οὐδὲ πλήθους οὐδὲ μεγέθους ἄνευ ἀρετῆς.
Ἀλκιβιάδης
- Οὐ μέντοι.
Σωκράτης
- Εἰ δὴ μέλλεις τὰ τῆς πόλεως πράξειν ὀρθῶς καὶ καλῶς, ἀρετῆς σοι μεταδοτέον τοῖς πολίταις.
Ἀλκιβιάδης
- Πῶς γὰρ οὔ ;
Σωκράτης
- Δύναιτο δ᾽ ἄν τις μεταδιδόναι ὃ μὴ ἔχοι ;
Ἀλκιβιάδης
- Καὶ πῶς ;
Σωκράτης
- Αὐτῷ ἄρα σοὶ πρῶτον κτητέον ἀρετήν, καὶ ἄλλῳ ὃς μέλλει μὴ ἰδίᾳ μόνον αὑτοῦ τε καὶ τῶν αὑτοῦ ἄρξειν καὶ ἐπιμελήσεσθαι, ἀλλὰ πόλεως καὶ τῶν τῆς πόλεως.
Ἀλκιβιάδης
- Ἀληθῆ λέγεις.
Σωκράτης
- Οὐκ ἄρα ἐξουσίαν σοι οὐδ᾽ ἀρχὴν παρασκευαστέον σαυτῷ ποιεῖν ὅτι ἂν βούλῃ, οὐδὲ τῇ πόλει, ἀλλὰ δικαιοσύνην καὶ σωφροσύνην.
Ἀλκιβιάδης
- Φαίνεται.
Σωκράτης
- Δικαίως μὲν γὰρ πράττοντες καὶ σωφρόνως σύ τε καὶ ἡ πόλις θεοφιλῶς πράξετε.
Ἀλκιβιάδης
- Εἰκός γε.